τηρῶν καταπεφάλα τὸ κόσμε. Κόνης δὲ τὸ πνεύματος ἐξ-
σίας τῷ ὁμοφυεῖ συμπαρῆσης, κὴ ἀναιρεντικῆσης
τῷ πράγματι τὸ γνήσιον τῆς ὑγότητος. Ἐτέρωθι
δὲ πάλιν τῆς πάντα παρέτιθησι πρὸς τὸ ἀφεύκτων ἀνθρώ-
πους ἐπιλαμβάν, μισθὸν, φησὶν, οὐκ ἔχετε παρὰ τῷ πατρὶ
ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. Καὶ πόσῳ μᾶλλον ὁ πατὴρ
ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐ-
τὸν. Καὶ ὃς ἐστὶν ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς.
Τί δὲ κὴ ἀνέβλεπεν ὁ ἀγαθὸς υἱὸς τὸ ἀγαθὸ πατρὸς
ἀλλότριον πρόσημα τὸν οὐρανὸν; κὴ τὸν δακτύλιος ὡς
τὰ αὐτὰ ἐμβάλλων τὸ χωφὸ, ἤπλετο τῆς γλώσσης
πλύσας, κὴ τῆς χωφώσεως ἀπέλυνε τὸν χωφόν; Ἄλλο
πάλιν πλάσμα πονηρὸν, ὡς οἱ θεομαχοῦντες φασί.
Τί δὲ λέγοντος αὐτὸ ἕνα πάτερ, δόξασον αὐτὸ υἱόν, ἦκε
τὸ οὐρανὸ ἦχεν ἡ φωνὴ λέγουσα; κὴ ἐδόξασα. κὴ πά-
λιν δοξάσω; Ἦδει μὲν γὰρ αὐτὸς, ὅτι κὴ ἐδόξασε, κὴ
δοξάσει. Καὶ ὁ διὰ τοῦτο ἦτει τὸν πατέρα. Αὐτὸς
γὰρ ἔχων πάντα τὰ πατρὸς, κὴ μόνος εἰδὼς τὸν
πατέρα, οὐδὲ τοῦτο ἠγνόει. Ἀλλ' ἵνα κὴ τὸ πλῆθος
τῶν ἀκροωμένων πλῆθος σαφῶς ἐπιγνῷ κὴ
μάθῃ, κὴ παραγυτοῦτας τὸ πάθος, ὡς ἄνθρωπος
κὴ ἐπιζητεῖ τοῦτο· πάντας διδάσκων, ὡς ἐκὼν αὐτὸ
ὑπεξέλετας. Διὸ κὴ ἔλεγεν· ὁ δι' ἐμὲ γέγονεν ἡ φωνὴ
αὕτη, ἀλλὰ δι' ὑμᾶς. Ἐγὼ μὲν γὰρ ἤδειν τὰ τοῦ
πατρὸς πάντα, κὴ οὐδὲν ἠγνόουν. Οὐδὲ δι' ἐμὲ τὴν φω-
νὴν πρὸς αὐτὸν ἀφῆκα, οὐδὲ δι' ἐμὲ ταύτην αὐτὸν
ἐβεβαίωσεν, ἀλλὰ δι' ὑμᾶς. Ἵνα γνῶτε ὅτι συντέχε-

τὸ

Hic aliqua ex Decl. I. ejusdem de Lazaro.